εὑρέσεως. ἀλλ' οὐδὲ περὶ τῶν ἀνθρωπικῶν πάντων· οἷον, πῶς ἂν Σκύθαι ἄριστα πολιτεύοιντο, οὐδεὶς Λακεδαιμονίων βουλεύεται· οὐ γὰρ γένοιτ' ἂν τούτων δι' ἡμῶν οὐθέν. βουλευόμεθα δὲ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν· ταῦτα δὲ καὶ ἔστι λοιπά. αἴτια γὰρ δοκοῦσιν εἶναι, φύσις, καὶ ἀνάγκη, καὶ τύχη· ἔτι δὲ νοῦς καὶ πᾶν τὸ δι' ἀνθρώπου. τῶν δ' ἀνθρώπων ἕκαστοι βουλεύονται περὶ τῶν δι' αὑτῶν πρακτῶν. καὶ περὶ μὲν τὰς ἀκριβεῖς καὶ αὐτάρκεις τῶν ἐπιστημῶν, οὐκ ἔστι βουλή· οἷον, περὶ γραμμάτων· οὐ γὰρ διστάζομεν, πῶς γραπτέον· ἀλλ' ὅσα γίνεται δι' ἡμῶν, μὴ ὡσαύτως δὲ ἀεὶ, περὶ τούτων βουλευόμεθα· οἷον, περὶ τῶν κατ' ἰατρικὴν, ἢ χρηματιστικὴν, καὶ περὶ κυβερνητικὴν μᾶλλον ἢ γυμναστικὴν, ὅσῳ ἧττον διηκρίβωται. καὶ ἔτι περὶ τῶν λοιπῶν ὁμοίως· μᾶλλον δὲ, καὶ περὶ τὰς τέχνας ἢ τὰς ἐπιστήμας· μᾶλλον γὰρ περὶ ταύτας διστάζομεν. τὸ βουλεύεσθαι δὲ ἐν τοῖς ὡς ἐπιπολὺ, ἀδήλοις δὲ πῶς ἀποβήσεται, καὶ ἐν οἷς ἀδιόριστον· συμβούλους δὲ παραλαμβάνομεν εἰς τὰ μεγάλα, ἀπιστοῦντες ἡμῖν αὐτοῖς ὡς οὐχ ἱκανοῖς διαγνῶναι. βουλευόμεθα δὲ, οὐ περὶ τῶν τελῶν, ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη· οὔτε γὰρ ἰατρὸς βουλεύεται, εἰ ὑγιάσει· οὔτε ῥήτωρ, εἰ πείσει· οὔτε πολιτικὸς, εἰ εὐνομίαν ποιήσει· οὐδὲ τῶν λοιπῶν οὐδεὶς περὶ τοῦ τέλους· ἀλλὰ θέμενοι τέλος τι, πῶς καὶ διὰ τίνων ἔσται, σκοποῦσι· καὶ διὰ πλειόνων μὲν φαινομένου γίνεσθαι, διὰ τίνος ῥᾷστα καὶ κάλλιστα ἐπισκοποῦσι· δι' ἑνὸς δὲ ἐπιτελουμένου, πῶς διὰ τούτου ἔσται· κἀκεῖνο διὰ τίνος, ἕως ἂν ἔλθωσιν ἐπὶ τὸ πρῶτον αἴτιον, ὃ ἐν τῇ εὑρέσει ἔσχατόν ἐστιν. ὁ γὰρ βουλευόμενος ἔοικε ζητεῖν καὶ ἀναλύειν τὸν εἰρημένον τρόπον, ὥσπερ διάγραμμα. φαίνεται δὲ, ἡ μὲν ζήτησις, οὐ πᾶσα εἶναι βούλευσις, οἷον αἱ μαθηματικαί· ἡ δὲ βούλευσις πᾶσα, ζήτησις· καὶ τὸ ἔσχατον ἐν τῇ ἀναλύσει, πρῶτον εἶναι ἐν τῇ γενέσει. κἂν μὲν ἀδυνάτῳ ἐντύχωσιν, ἀφίστανται· οἷον, εἰ χρημάτων δεῖ, ταῦτα δὲ μὴ οἷόν τε πορισθῆναι. ἐὰν δὲ δυνατὸν φαίνηται, ἐγχειροῦσι πράττειν.

A inuentione. Sed neque de humanis omni-
bus conſultamus: verbi cauſa quomodo
Scythæ optimè adminiſtrare remp. poſ-
ſint, nullus ex Lacedæmoniis conſultat:
nihil enim ex his eiuſmodi eſt, vt agi per
nos ipſos valeat. Conſultamus autem de
agendis rebus, atque iis quæ in noſtra ſitæ
ſunt poteſtate: hæc enim reſtant: quippe
cùm cauſæ nullæ aliæ eſſe videantur,
quàm natura, & neceſſitas, & fortuna: mens
B præterea, atque omne id quod per homi-
nem agit: vnuſquiſque autem de iis, quæ
per ipſum agi poſſunt, conſultet. At circa
quidem exquiſitas ac certas ſcientias, eáſ-
que quæ ex ſeſe ſibi ſufficiunt, nulla con-
ſultatio eſt: vt de literis: nõ enim dubita-
mus, quomodo ſcribendum ſit. Sed de iis,
quæcunque per nos fiunt, neque ſemper
eodem modo eueniunt, conſultamus. vt
de iis quæ ad medicam artem ſpectant, &
C pecuniariam: atque eò magis in guber-
nandi arte deliberamus, quàm exercita-
toria, quanto minus exactis, atque exqui-
ſitis rationibus conſtat. ac ſimili modo de
reliquis. Magis etiam in artibus quàm in
ſcientiis conſultatio eſt: eò quod in ipſis
magis ambigere conſueuimus. Conſul-
tatio autem de illis eſt, quæ vt plurimum
quidem fiunt: incerta tamen ſunt: quo-
modo euadant: & in quibus indetermi-
D natio exiſtit. Ad magnas verò res conſul-
tores etiam adhibere conſueuimus, nobis
ipſis diffidentes, quaſi ſufficere ad diſcer-
nendum ſoli nequeamus. Ac conſulta-
mus quidem non de finibus, ſed de iis quę
ad finem tendunt. nam neque medicus
an ſanare: neq. orator an perſuadere: ne-
que ciuilis an bene legibus inſtitutam pa-
triam reddere debeat: neque ex aliis quiſ-
piam de fine conſultat. ſed omnes, cùm fi-
E nem quendam ſtatuerint, quo modo ac
per quæ euenire is poſſit deliberant: ſiquis
per plura fieri poſſe videatur, per quód-
nam facillimè atque optimè fieri queat,
conſiderat. ſi per vnum, quo modo per id
effici rectè valeat: & illud item per quid,
atque id tantiſper, donec ad primam cau-
ſam deuenerint: id quod in inuentio-
ne extremum eſt. Qui enim conſultat,
F quærere videtur & reſoluere prędicto mo-
do, quemadmodum deſignationem. Non
quælibet autem quæſtio conſultatio eſt,
vt mathematicæ: ſed quælibet tamen
conſultatio inquiſitio eſt. & quod extre-
mum eſt in reſolutione, in generatione eſ-
ſe primum videtur. atque hi cum in rem
quæ fieri nequeat, inciderint, deſiſtunt: vt ſi pecuniis opus ſit earúmque ex-
editio nullo modo appareat; ſi verò fieri poſſe res videatur, eam aggrediuntur.